**δακτυλικὸν λογαοιδικὸν τρίμετρον ἀκατάληκτον**

Trich. 379. 27 sqq. ἔστι μὲν ἐπισημότατα ἐν τούτῳ τῷ μέτρῳ (*scil.* τῷ δακτυλικῷ λογαοιδικῷ), ὡς καὶ Ἡφαιστίων φησί (p. 24. 3 sqq.), τά τε τρίμετρα ἀκατάληκτα, τὰ πρὸς δυσὶ ποσὶ δακτυλικοῖς μίαν ἔχοντα τροχαϊκὴν διποδίαν, ἃ καὶ ἀλκαικὰ καλεῖται, ὡς τοῦ Ἀλκαίου κατακόρως αὐτοῖς χρησαμένου, οἷόν ἐστι τό·

καὶ θεὸν ἀμερίοις βροτοῖσι.

Trich. 380. 4 sqq. ἡμεῖς μέντοι, διὰ τὸ μακρότερον εἶναι τὸ πεντάμετρον, ἄλλως τε καὶ περιέχειν καὶ τὰ τρίμετρα καὶ τὰ τετράμετρα, ἐπετηδευσάμεθά τε αὐτὸ καὶ εἰς παράδειγμα προτεθείκαμεν· εἰσὶ γὰρ τὰ προκείμενα τρία ἔπη λογαοιδικὰ πεντάμετρα ἀκατάληκτα, ἐκ τεσσάρων δακτύλων ἢ σπονδείων καὶ μιᾶς τροχαικῆς διποδίας.

Trich. 380. 21 sqq. τρίμετρον δὲ (*scil.* δακτυλικὸν λογαοιδικόν) βραχυκατάληκτον μὲν οὐκ ἔσται, ἵνα μὴ πάλιν τῷ δακτυλικῷ συνεμπέσῃ, οὐδὲ καταληκτικὸν διὰ τὸ αὐτὸ τοῦτο, μόνον δὲ ἀκατάληκτον καὶ ὑπερκατάληκτον. καὶ ἀκατάληκτον μὲν τοῦτο·

καὶ θεὸν ἀμερίοις βροτοῖσι.

τοῦτο δὲ καὶ ἀλκαικόν, ὡς ἔφαμεν (p. 379. 27 sqq.), λέγεται. [*S.D.B.*]